τὸ παρὸν τι παιδίον, συγχώρησον τὰ
ἑκούσια καὶ τὰ ἀκούσια αὐτῆς πταίσ-
ματα· καὶ διαφύλαξον αὐτήν, ἀπὸ
πάσης τοῦ διαβόλου τυραννίδος·
καὶ τὸ ἐξ αὐτῆς κυηθὲν νήπιον· διατή-
ρησον ἀπὸ πάσης φαρμακείας· ἀπὸ πά-
σης χαλεπότητος· ἀπὸ πάσης ζάλης
τοῦ ἀντικειμένου· ἀπὸ πνευμάτων
πονηρῶν, ἡμερινῶν καὶ νυκτερινῶν·
ταύτην δὲ διατήρησον· ὑπὸ τὴν κραται-
άν χεῖρά σου· καὶ δὸς αὐτῇ ταχινὴν τὴν ἐξα-
νάστασιν· καὶ τοῦ ῥύπου κάθαρον· καὶ
τοὺς πόνους θεράπευσον· καὶ ῥῶσιν
καὶ εὐρωστίαν ψυχῆς τε καὶ σώματι δώρη-
σαι· καὶ δι' ἀγγέλων φαιδρῶν καὶ φωτεινῶν·
ταύτην περίθαλψον καὶ περιφρούρησον,
ἀπὸ πάσης ἐπελεύσεως τῶν ἀοράτων
πνευμάτων· ναὶ Κύριε, ἀπὸ νόσου καὶ μα-
λακίας· ἀπὸ ζήλου καὶ φθόνου καὶ ὀ-
φθαλμῶν βασκανίας· Καὶ ἐλέησον